γραμματικός, ψάλτης, καὶ ὁ Αἴσωπος. Καί τις τῶν συνήθων
αὐτοῦ φίλων λέγει τῷ ἐμπόρῳ, ἐὰν θέλῃς ἀδελφὲ πραθῆναι
τὰ σωμάτια, ἄπελθε εἰς τὴν Σάμον. Ξάνθος γὰρ ὁ φιλόσοφος
ἐκεῖσε οἰκεῖ. πολλοὶ γὰρ τῶν νήσων καὶ τῆς Ἑλλάδος φοιτῶ-
σι πρὸς αὐτὸν, ἐν ἀπορίᾳ ὄντες, καὶ τύχης τοῦ ζητήμα-
τος. πεισθεὶς οὖν ὁ ἔμπορος τῇ τοῦ φίλου γνώμῃ, παρε-
γένετο εἰς τὴν Σάμον. Καὶ τὸν μὲν ψάλτην ἄκνημον ὄντα
λευκοὺς ὑπενέδυσε χιτῶνας καὶ ὑποδήματα, καὶ τὴν
τρίχα κτενίσας, ἔστησε ἐπὶ τοῦ πρατηρίου. Τὸν δὲ γραμμα-
τικὸν λεπτὸν ὄντα, βαθεῖς ἐνέδυσε χιτῶνας, καὶ ὑποδήματα.
κτενίσας δὲ τὴν τρίχα, σουδαρίῳ δὲ ἔστησεν ἐπὶ τοῦ πρα-
τηρίου. Τοῦ δὲ Αἰσώπου μὴ ἔχων τί ἀποκρύψαι, ἢ τί κοσμῆσαι,
ἐπείπερ ὅλος ἦν ἁμάρτημα, ἐνέδυσε αὐτὸν χιτωνίσκον ἐκ
σάκκου, καὶ τῶν καλῶν ἔστησεν εἰς μέσον. Πολλοὶ δὲ κατα-
νοοῦντες τὰ σώματα, ὁρῶντες τὸν Αἴσωπον, πρὸς ἀλλή-
λους ἔλεγον, πόθεν τὸ κακὸν κάθαρμα τοῦτο. οὗτος γὰρ καὶ
τοὺς ἄλλους ἀφανίζει. Ὁ δὲ Αἴσωπος θεωρῶν, ὅτι ὑπὸ πολ-
λῶν

ἴσ[αι] : κάθαρμα.